τῷ τοῦ ☿ καὶ ἠρέμα τῷ τοῦ ♂· οἱ δὲ λοιποὶ τῆς πτέρυγος λαμπροὶ, καὶ οἱ κα-
τὰ τὰ περιζώματα τῷ τοῦ ☿ καὶ ἠρέμα τῷ τῆς ♀, ὁ δὲ ἐν τῇ βορείᾳ πτέρυγι
λαμπρὸς καλούμενος δὲ προτρυγητὴρ, τῷ τοῦ ♄ καὶ τῷ τοῦ ☿. ὁ δὲ καλού-
μενος στάχυς τῷ τῆς ♀ καὶ ἠρέμα τῷ τοῦ ♂, οἱ δὲ ἐν ἄκροις τοῖς ποσὶ καὶ
τῷ σύρματι τοῦ ἱματίου τῷ τοῦ ☿ καὶ ἠρέμα τῷ τοῦ ἄρεως. Τῶν δὲ χηλῶν ♎
τοῦ ♎ οἱ μὲν ἐν ἄκραις αὐταῖς ὡσαύτως διατιθέασι τῷ τοῦ ♃ καὶ τῷ
τοῦ ☿. οἱ δὲ ἐν μέσαις τῷ τοῦ κρόνου καὶ ἠρέμα τῷ τοῦ ♂. Τῶν δὲ ἐν σώματι
τοῦ ♏, οἱ μὲν ἐν τῷ μετώπῳ λαμπροὶ τὸ αὐτὸ ποιοῦσι τῷ τοῦ ♂ καὶ ἠρέ- ♏
μα τῷ τοῦ ♄. οἱ δὲ ἐν τῷ σώματι τρεῖς ὧν ὁ μέσος ὑπόκιῤῥος καὶ λαμπρότε-
ρος, καλεῖται δὲ ἀντάρης, τῷ τοῦ ♂ καὶ ἠρέμα τῷ τοῦ ♃. οἱ δὲ ἐν τοῖς σπον-
δύλοις τῷ τοῦ ♄ καὶ ἠρέμα τῷ τῆς ♀. οἱ δὲ ἐπὶ τοῦ κέντρου τῷ ☿ καὶ τῷ τοῦ
♂. ἡ δὲ λεγομένη νεφελοειδὴς συστροφὴ τῷ τοῦ ♂ καὶ τῆς ☽. Τῶν δὲ περὶ
τὸν ♐ οἱ μὲν ἐπὶ τῆς ἀκίδος τοῦ βέλους ὅμοιον ἔχουσι τὸ ποιητικὸν τῷ τοῦ ♐
♂ καὶ τῆς ☽, οἱ δὲ περὶ τὸ τόξον καὶ τὴν λαβὴν τῆς χειρὸς τῷ τοῦ ♃ καὶ
τῷ τοῦ ♂. οἱ δὲ ἐν τῷ προσώπῳ συστροφὴ τῷ τε τοῦ ☉ καὶ τῷ τοῦ ♂ * οἱ δὲ
ἐν ταῖς πτέρυξι τῷ τοῦ ♃ καὶ ἠρέμα τῷ τοῦ ☿. οἱ δὲ ἐν τοῖς ποσὶ
τῷ τοῦ ♃ καὶ τῷ τοῦ ♄. τὸ δὲ ἐπὶ τῆς οὐρᾶς τετράπλευρον, τῷ τῆς ♀ καὶ
ἠρέμα τῷ τοῦ ♄. Τῶν δὲ κατὰ τὸν ♑ * ἀστέρων οἱ μὲν ἐπὶ τῶν κεράτων ὡσαύ- ♑
τως ἐνεργοῦσι τῷ τῆς ♀ καὶ ἠρέμα τῷ τοῦ ἄρεως. οἱ δὲ ἐν τῷ στόματι τῷ τοῦ
♄ καὶ ἠρέμα τῷ τῆς ♀. οἱ δὲ ἐν τοῖς ποσὶ καὶ τῇ κοιλίᾳ ♂ καὶ τῷ τοῦ ☿, οἱ δὲ
ἐπὶ τῆς οὐρᾶς τῷ τοῦ ♄ καὶ τῷ τοῦ ♃. Τῶν δὲ περὶ τὸν ♒ οἱ μὲν ἐν τοῖς ♒
ὤμοις ὁμοίως διατιθέασι τῷ τοῦ ♄ καὶ τῷ τοῦ ☿ σὺν τῇ ἀριστερᾷ χειρὶ καὶ τῷ
* χύματι. οἱ δὲ ἐπὶ τῶν μηρῶν, μᾶλλον μὲν τῷ τοῦ ☿ ἧττον δὲ τῷ τοῦ ♄. οἱ- ♓
δὲ ἐν τῇ ῥύσει τοῦ ὕδατος τῷ τοῦ ♄ καὶ ἠρέμα τῷ τοῦ ♃. Τῶν δὲ περὶ τοὺς ἰ-
χθῦς, οἱ μὲν ἐν τῇ κεφαλῇ τοῦ νοτιωτέρου ἰχθύος τὸ αὐτὸ ποιοῦσι τῷ τοῦ ☿
καὶ ἠρέμα τῷ τοῦ ♄ οἱ δὲ ἐν τῷ σώματι τῷ τοῦ διὸς καὶ τῷ τοῦ ☿. οἱ δὲ ἐπὶ τῆς
οὐρᾶς καὶ ἡ ἐπὶ τοῦ νοτίου λίνου τῷ τοῦ ♄, καὶ ἠρέμα τῷ τοῦ ☿ οἱ δὲ ἐν τῷ σώμα-
τι καὶ τῇ ἀκάνθῃ τοῦ βορείου ἰχθύος τῷ τοῦ ♂ καὶ ἠρέμα τῷ τῆς ♀. οἱ δὲ ἐν τῷ
βορείῳ λίνῳ, τῷ τοῦ ♄ καὶ τῷ τοῦ ♃. ὁ δὲ ἐπὶ τοῦ συνδέσμου λαμπρὸς τῷ
τοῦ ♂ καὶ ἠρέμα τῷ τοῦ ☿. Τῶν δὲ ἐν τοῖς βορειοτέροις τοῦ ζωδιακοῦ μορφώ-
σεων, οἱ μὲν περὶ τὴν μικρὰν ἄρκτον λαμπροὶ, τὴν ὁμοίαν ἔχουσι ποιότη-
τα τῷ τοῦ ♄, καὶ ἠρέμα τῷ τῆς ♀. οἱ δὲ περὶ τὴν μεγάλην ἄρκτον τῷ τοῦ ♂
ἡ δὲ ὑπὸ τὴν οὐρὰν αὐτῆς τοῦ πλοκάμου συστροφὴ τῇ ☽ καὶ τῷ τῆς ♀. οἱ δὲ
ἐν τῷ δράκοντι λαμπροὶ τῷ τοῦ ♄ καὶ τῷ τοῦ ♂ καὶ τῷ τοῦ ♃. οἱ δὲ τοῦ κηφέως